## Διαίρεσις τῆς φιλοσοφίας.

Αὕτη δὲ ἡ φιλοσοφία διαιρεῖται εἰς θεωρητικὴν καὶ πρακτικήν, ὧν ἡ μὲν θεωρητικὴ τάττεται πρὸς τὸ ἐπίστασθαι, ἡ δὲ πρακτικὴ πρὸς τὸ ἐνεργεῖν, κατὰ τὸν Φιλόσοφον ἐν β′ τῶν Μετὰ τὰ φυσικά. Αἱ θεωρητικαὶ δὲ ἐπιστῆμαι διπλαῖ εἰσίν· τινὲς μὲν γὰρ εἰσὶν ὑπουργικαί, ἄλλαι δὲ ἀρχοειδεῖς. Αἱ ἀρχοειδεῖς θεωρητικαὶ ἐπιστῆμαι εἰσὶ τρεῖς, δηλονότι
f. 6ʳ φυσική, μαθηματικὴ καὶ θεία· ὑπουργικαὶ δὲ δύο, | γραμματικὴ καὶ λογική.

## Περὶ τῶν θεωρητικῶν ἀρχοειδῶν ἐπιστημῶν.

Φυσική. — Φυσικὴ ἐστιν ἐπιστήμη ἡ περὶ τῶν κινητῶν ὄντων, ὁποῖα εἰσίν, ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον καὶ τὰ ὅμοια, οὐχ ὑπὸ τῇ διαθέσει, ὑφ' ᾗ ἐνεργείᾳ κινοῦνται καὶ αἰσθάνονται, διότι οὕτως εἰσὶ μερικά, καὶ οὐκ ἔστιν αὐτῶν ἐπιστήμη· ἀλλ' ἔστι περὶ αὐτῶν ἐπιστήμη, θεωρουμένων καθ' αὑτὰ καὶ ἀπολελυμένως ὅσον πρὸς πᾶσαν ζήτησιν τοῦ κινητοῦ αἰσθητοῦ· καὶ οὕτω περὶ αὐτῶν ἐν τῇ φυσικῇ θεωρεῖται ἐπιστήμη ὅσον πρὸς τὰ ἐνυπάρχοντα αὐτοῖς κατὰ τὴν εἰρημένην ζήτησιν.

Μαθηματική. — Μαθηματικὴ δέ ἐστιν ἐπιστήμη ἡ περὶ τῶν ὄντων ἐκείνων πραγματευομένη, ἃ κατὰ τὴν ἰδίαν φύσιν ἐξ ἀφαιρέσεως εἰσὶν εἴτουν ἀφαιρεῖσθαι δύνανται τῶν αἰσθητῶν ποιοτήτων, ὥσπερ ὁ ἀριθμὸς καὶ τὸ μέγεθος. Καὶ καλῶς λέγω κατὰ τὴν ἰδίαν φύσιν, δι' ἐκεῖνα ἅπερ διὰ τοῦ νοῦ μόνον δύνανται νοεῖσθαι, μὴ νοουμένων τινῶν ποιοτήτων αἰσθητῶν, ὥσπερ αἱ οὐσίαι ὅ τε ἄνθρωπος καὶ τὸ ζῷον δύνανται νοεῖσθαι, μὴ νοουμένων ποιοτήτων τινῶν αἰσθητῶν· καὶ τὸ χρῶμα ὁμοίως δύναται νοεῖσθαι ἄνευ τοῦ νοεῖσθαι εἶναι αἰσθητόν, διότι τὸ εἶναι αἰσθητὸν οὐκ ἔστιν ἐκ τῆς ὑπάρξεως ἢ τῆς οὐσίας τοῦ χρώματος. Ὅμως ταῦτα τὰ φυσικὰ ὄντα καθ' ἑαυτὰ ἢ κατὰ τὴν αὐτῶν φύσιν ἀφορίζουσιν ἑαυτοῖς ὡρισμένην συμπλοκὴν αἰσθητῶν ποιοτήτων πρὸς τὸ σῴζεσθαι ἐν τῇ ὕλῃ οὕτως, ὥστε ἐν ἄλλῃ συμπλοκῇ μὴ δύνασθαι σῴζεσθαι. Ἀλλὰ τὰ μαθηματικὰ ὄντα καὶ κατὰ τὴν ἰδίαν φύσιν, δοθέντος μὴ εἶναι νοῦν, ἀφαιρετά εἰσιν ἀπὸ τῶν αἰσθητῶν ποιοτήτων διὰ τὸ μηδεμίαν φύσιν ἑαυτοῖς ἀφορίζειν, ὥσπερ ὁ ἀριθμὸς καὶ τὸ μέγεθος οὐκ ἀφορίζουσιν ἑαυτοῖς τινὰ αἰσθητὴν ὕλην, ἀλλὰ δύνανται εὑρίσκεσθαι ἐν ὁποιαδήποτε ὕλῃ καὶ ὁπωσδήποτε διατεθειμένῃ· οὕτω δὲ οὐκ ἔστιν ἐπὶ τῶν φυσικῶν· ὥσπερ τὸ ἀνθρώπινον εἶδος πρὸς τὸ σῴζεσθαι ἐν τῇ ὕλῃ ζητεῖ ὡρισμένην συμπλοκὴν αἰσθητῶν ποιοτήτων.

Θεολογική· ἡ μετὰ τὰ φυσικά. — Ἡ θεία δὲ ἐπιστήμη ἐστὶν ἡ περὶ τῶν ὄντων τῶν χωριστῶν, ἢ μᾶλλον κεχωρισμένων τῆς κινήσεως

---

1 ἡ add avant *διαίρεσις* B 8 *Περὶ — ἐπιστημῶν* om B 9 *Φυσική* om BC
16 *Μαθηματική* om BC 35 *Θεολογική· — φυσικά* om BC

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

καὶ τῆς ὕλης κατὰ τὸ εἶναι, ὥσπερ ὁ Θεὸς καὶ αἱ νοήσεις· εἰ γὰρ καὶ ἐν τῇ Μετὰ τὰ φυσικὰ τὸ ὄν, καθὸ ὄν, ἐστὶν ὑποκείμενον, | f. 7 ὅμως πάντα τὰ ἐκεῖσε διοριζόμενα τάττονται τελικῶς πρὸς τὴν γνῶσιν τοῦ ιβʹ, ἐν ᾧ διορίζεται περὶ τῶν χωριστῶν οὐσιῶν.

Ἡ αὐτὴ διαίρεσις πλατύτερον. — Ἄνωθεν οὖν ἀρχομένοις ῥητέον ὅτι, ὥς φησιν ὁ Φιλόσοφος ἐν ϛʹ τῶν Μετὰ τὰ φυσικά, τρία εἰσὶν ἀρχοειδῆ μέρη τῆς θεωρητικῆς ἐπιστήμης, δηλονότι ἡ φυσική, ἡ μαθηματική, καὶ ἡ θεία, τουτέστιν ἡ μετὰ τὰ φυσικά. Καὶ ὁ λόγος ταύτης τῆς προτάσεως ἐστίν, ὅτι αἱ ἐπιστῆμαι διακρίνονται κατὰ τὴν διάκρισιν τῶν ἀντικειμένων αὐτῶν περὶ ὧν εἰσίν, ὡς δῆλον ἐστὶν ἐν τῷ τρίτῳ Περὶ ψυχῆς. Ἀλλὰ τὰ ὑφ' ἡμῶν θεωρητὰ πράγματα εἰσὶ τριπλᾶ, δηλονότι τὰ φυσικά, τὰ μαθηματικὰ καὶ τὰ θεῖα. Ἔσονται ἄρα τρεῖς ἐπιστῆμαι θεωρητικαὶ ἀρχοειδεῖς, δηλονότι ἡ φυσική, ἡ μαθηματικὴ καὶ ἡ θεία. Ἡ ἐλάττων δείκνυται οὕτως, ὅτι τινὰ μὲν τῶν πραγμάτων εἰσὶν αἰσθητὰ καὶ κινητὰ καὶ μεταβλητὰ ἢ ἔχοντα τάξιν τινὰ πρὸς τὴν κίνησιν, καὶ περὶ τούτων ἐστὶν ἡ φυσικὴ ἐπιστήμη, ἡ θεωροῦσα τὸ κινητὸν ὂν καθὸ κινητόν, καὶ τὸ αἰσθητόν, καθὸ αἰσθητὸν καθ' αὑτό, ὥσπερ τὸ θερμὸν καὶ ψυχρόν, καὶ ὑγρὸν καὶ ξηρόν, ὡσαύτως δὲ καὶ περὶ τῶν ὁμοίων. Ἔχοντα δὲ τάξιν ἢ ἀπόδοσιν εἴρηται, διότι ἔστι τις οὐσία, ἥτις κατὰ τὴν ἰδίαν ὕπαρξιν ἑαυτῆς τέτακται πρὸς τὸ σῴζεσθαι ἐν τῷ εἶναι κατὰ διωρισμένην συμπλοκὴν τῶν αἰσθητῶν ποιοτήτων οὕτως, ὥστε ἑτέρᾳ διαθέσει μὴ συντηρεῖσθαι τὸ εἶδος, ὥσπερ ὁ ἄνθρωπος καὶ πάντα τὰ εἴδη τῶν αἰσθητῶν οὐσιῶν. Ἄλλο δὲ ἐστὶ τὸ μαθηματικόν, καὶ τοῦτο ἐστὶ συννημένον ἐν τῷ εἶναι μετὰ τῆς αἰσθητῆς ὕλης· κατὰ τὴν ἰδίαν μέντοι γε φύσιν οὐκ ἀφορίζει ἑαυτῷ συμπλοκήν τινα αἰσθητῶν ποιοτήτων, ὥστε συντηρεῖσθαι ἐν τῷ ὑποκειμένῳ, οἷον ὁ ἀριθμὸς καὶ τὸ μέγεθος· καὶ περὶ τούτων τῶν ὄντων αἱ μαθηματικαὶ εἰσὶν ἐπιστῆμαι, αἵτινές εἰσι τέσσαρες, δηλονότι ἀριθμητικὴ καὶ γεωμετρία, αἵ εἰσι καθαρῶς μαθηματικαί, καὶ μουσικὴ καὶ ἀστρολογία, αἵ εἰσι πῇ μαθηματικαὶ καὶ πῇ φυσικαί· καὶ διότι ταῦτα τὰ μαθηματικὰ ὄντα εἰσὶ κατὰ τὸ εἶναι | f. 7ᵛ συνημμένα μετὰ τῶν αἰσθητῶν, κατὰ τὴν ἰδίαν μέντοι γε φύσιν οὐκ ἀφορίζουσιν ἑαυτοῖς ποιότητά τινα αἰσθητήν, ὡς εἴρηται, διὰ τοῦτο καθ' αὑτὰ εἰσὶν ἀφαιρετὰ κατὰ τὸν νοῦν ἀπὸ τῶν αἰσθητῶν, διότι ἡ κατὰ τὸν νοῦν ἀφαίρεσις οὐκ ἔστιν ἄλλο ἢ τὸ νοεῖν τι πρότερον ἐν τῷ εἶναι συνημμένον μετὰ θατέρου, μὴ νοοῦντα τὸ ὕστερον. Τὰ δὲ μαθηματικά εἰσι συνημμένα μετὰ τῶν αἰσθητῶν, καὶ εἰσὶν αὐτῶν πρότερα κατὰ τὴν φύσιν διὰ τὸ μὴ ἀφορίζειν ἑαυτοῖς ποιότητας αἰσθητάς. Εἰσὶν ἄρα ἀφαιρετὰ κατὰ τὸν νοῦν ἀπὸ τῶν αἰσθητῶν.

---

5 *Ἡ αὐτὴ — πλατύτερον* om BC 25 *ἑαυτῇ* A 33 *τί* avant *ἄλλο* add B

ΙΩΑΝΝΙΝΑ 2006

Ποσαχῶς τὸ ἐξ ἀφαιρέσεως. — Ἀλλὰ κατὰ τοῦτο τὸ μέρος δεῖ σημειοῦσθαι τί ἐστιν ἡ ἀφαίρεσις. Μία μὲν γάρ ἐστιν ἡ τοῦ καθόλου ἀπὸ τοῦ μερικοῦ, καὶ αὕτη ἐστὶ κοινὴ πάσῃ οὐσίᾳ. Ἑτέρα ἀφαίρεσις ἐστὶν ἡ τινὸς ὑποκειμένου ἀπὸ τῶν συμβεβηκότων, ὑποκειμένου μέντοι γε ἀφορίζοντος ἑαυτῷ τινὰ συμβεβηκότα, καὶ ἡ τοιαύτη ἀφαίρεσις δύναται εἶναι ἐν ταῖς αἰσθηταῖς οὐσίαις, διότι ὁ ἄνθρωπος, ἢ ὁ ἵππος, πρότερα ὄντα κατὰ τὴν φύσιν τῶν αἰσθητῶν ποιοτήτων, δύνανται νοεῖσθαι, μὴ νοουμένων τῶν αἰσθητῶν ποιοτήτων.

Ἄλλη ἀφαίρεσις ἐστὶν ἡ τινὸς προτέρου ἀπὸ τῶν ὑστέρων, ὅπερ κατὰ τὸ εἶναι συνεζευγμένον ἐστὶ συμβεβηκόσιν, οὐ μέντοι γε ἀφορίζει ἑαυτῷ ἐν τῷ εἶναι τὸ ὕστερον ἐκεῖνο, καὶ αὕτη ἐστὶν ἡ μαθηματικὴ ἀφαίρεσις· ἡ γὰρ γραμμὴ καὶ ὁ ἀριθμὸς καὶ τὰ ἄλλα μαθηματικὰ ἐν τῷ εἶναι συνεζευγμένα εἰσὶ ταῖς αἰσθηταῖς ποιότησιν καὶ κατὰ τὴν φύσιν πρότερά εἰσιν αὐτῶν, καὶ οὐδὲ ταύτας ἑαυτοῖς ἀφορίζουσιν.

Ἕτερον ὄν ἐστὶ τὸ θεῖον, ὃ κατὰ τὸ εἶναι κεχώρισται τῶν αἰσθητῶν, καὶ περὶ τούτου τοῦ θείου ὄντος, ὥσπερ εἰσὶν αἱ χωρισταὶ οὐσίαι, θεωρεῖ ἡ μετὰ τὰ φυσικά, ἤγουν ἡ θεία ἐπιστήμη. Καὶ ἐὰν εἴποις, ὅτι ἐκεῖ πολλὰ διορίζεται περὶ τῶν ἄλλων ὄντων, ῥητέον ἐστίν, ὅτι ἡ ἐπιστήμη ἐκείνη θεωρεῖ περὶ τοῦ ὄντος ᾗ ὄν, καὶ ἀκολούθως ἔχει ἀρχοειδῶς θεωρεῖν καὶ προηγουμένως περὶ τῶν πρώτων ὄντων, ἅπερ εἰσὶν αἱ χωρισταὶ οὐσίαι· καὶ διὰ τοῦτο παρωνόμασται θεία ἢ θεολογική, διότι περὶ τοῦ θείου
f. 8 εἶναι θεωρεῖ, | τὰ δὲ ἄλλα πάντα ἃ σκοπεῖ, τελικῶς θεωρεῖ διὰ τὰς χωριστὰς οὐσίας.

Οὕτω τοίνυν δῆλον ἐστίν, ὅτι τρεῖς εἰσιν ἐπιστῆμαι θεωρητικαὶ ἀρχοειδεῖς. Καὶ λέγονται ἐπιστῆμαι θεωρητικαί, διότι εἰσὶ περὶ τῶν ὄντων τῶν ὑφ' ἡμῶν θεωρουμένων, καὶ ὅτι εἰσὶ διὰ τὸ ἐπίστασθαι μόνον, καὶ οὐχὶ διά τινα ἐνέργειαν.

### Περὶ τῶν πρακτικῶν καὶ ποιητικῶν.

Ἀλλ' αἱ πρακτικαὶ λέγονται πρὸς τὴν τοῦ τέλους ἐνέργειαν· τῆς θεωρητικῆς γάρ ἐστιν ἡ ἀλήθεια, τῆς δὲ πρακτικῆς, τὸ ἔργον, ὥς φησιν ὁ Φιλόσοφος ἐν β' τῶν Μετὰ τὰ φυσικά.

Τῶν δὲ πρακτικῶν ἐπιστημῶν αἳ μὲν εἰσὶ πρακτικαί, αἳ δὲ ποιητικαί· καὶ διαφέρουσιν, ὅτι ποιητικαὶ μὲν εἰσὶν ὧν αἱ ἐνέργειαι διαβαίνουσιν εἰς ὕλην ἐξωτερικήν, καὶ οὐ μένουσιν ἐν τῷ ποιοῦντι, ὡς αἱ μηχανικαὶ ἐπιστῆμαι, οἷον οἰκοδομικὴ καὶ ὅσαι τοιαῦται· πρακτικαὶ δὲ εἰσὶν αἱ ἠθικαί, ὧν αἱ ἐνέργειαι οὐ μεταβαίνουσιν εἰς ἐξωτερικὴν ὕλην,

1 *Ποσαχῶς ἡ ἀφαίρεσις* B, om C  7 *δύναται* BC  17 *εἴπῃς* BC
26 *ὑφ' ἡμῖν* BC  28 titre omis BC

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἀλλὰ μένουσιν ἐν τῷ ποιοῦντι· καὶ ταύτην τὴν διάκρισιν τίθησιν ὁ Φιλόσοφος ἐν ς′ τῶν Μετὰ τὰ φυσικά.

## Περὶ τῶν θεωρητικῶν ὑπουργικῶν, ἤγουν γραμματικῆς καὶ λογικῆς.

Ἄλλαι δὲ εἰσὶν ἐπιστῆμαι θεωρητικαὶ ὑπηρετικαὶ τῶν ἀρχοειδῶν, καὶ εἰσὶν αὗται δύο, γραμματικὴ δηλονότι καὶ λογική. Ὅτι δὲ εἰσὶν ὑπηρετικαὶ τῶν ἄλλων ἀρχοειδῶν ἐπιστημῶν, δυνατὸν δείκνυσθαι οὕτως. Καὶ πρῶτον περὶ τῆς λογικῆς.

Ἐπειδὴ πᾶσα ἐπιστήμη ἔχει τρόπον τινὰ τοῦ ἐπίστασθαι, ἵνα μὴ ἐν πάσῃ ἐπιστήμῃ συνεχῶς τὸ αὐτὸ ἀναζητῆται, ἔδει εἶναι τινὰ ἐπιστήμην, ἥτις διδάσκοι ἂν ἡμᾶς τὰς ἰδιότητας καὶ τὰ πάθη τοῦ ἐπιστημονικοῦ τρόπου ἐν ἑκάστῃ ἐπιστήμῃ (α), ὥστε ἀποδεικνύναι περὶ αὐτῆς τὰ ἴδια πάθη διὰ τῶν οἰκείων ἀρχῶν· καὶ αὕτη ἐστὶν ἡ λογική, ὑπηρετικὴ οὖσα τῶν ἄλλων ἐπιστημῶν τῶν ἀρχοειδῶς θεωρητικῶν, καὶ ἑπομένως πασῶν τῶν ἄλλων ἐπιστημῶν.

Ἔτι τοῦτ' αὐτὸ δείκνυται καὶ περὶ τῆς γραμματικῆς, ὅτι ἔστιν ὑπουργικὴ τῶν ἄλλων ἐπιστημῶν τῶν τε θεωρητικῶν καὶ τῶν ἄλλων, διότι ὅπερ εὑρίσκει τις ἐκ τῆς ἐπιστήμης ὀλίγον ἐστίν, πολὺ δέ ἐστιν ὅπερ ἀπ' ἄλλου διδασκαλίᾳ καὶ μαθήσει πορίζεται, ὡς ἐν τῷ δευτέρῳ τῆς Μετὰ | τὰ φυσικὰ λέγεται (β). Τὸ δὲ ὄργανον τῆς διαλεκτικῆς ἐστιν f. 8v
ὁ σημαντικὸς λόγος, ὡς ἐν τῷ Περὶ αἰσθήσεως βιβλίῳ λέγεται. Διὰ τοῦτο ἀναγκαία γέγονεν ἡ ἐπιστήμη ἥτις τὰς ἰδιότητας τοῦ σημαντικοῦ λόγου διδάσκειν ἔμελλεν· αὕτη δέ ἐστιν ἡ γραμματική. Διὰ τοῦτο ἡ γραμματικὴ ἀναγκαία ἐστὶ διὰ τὴν διάστιξιν καὶ τὴν διαστολὴν ἐν ταῖς ἄλλαις πάσαις ἐπιστήμαις, ἐπεὶ πᾶσα ἐπιστήμη ἐπιγινώσκεται διαστίξει, ἢ διακρίσει, ἧς ὁ σημαντικὸς λόγος ἐστὶν ὄργανον· περὶ οὗ θεωρεῖ ἡ γραμματική, ἐπεὶ ὀλίγον ἐστὶν ὅπερ ἕκαστος ἀφ' ἑαυτοῦ εὑρίσκει, ἀλλὰ πάντα σχεδὸν ἔχομεν διὰ μαθήσεως.

---

*(α) Σημείωσαι, ὅτι ἡ μὲν λογικὴ ὑπηρετεῖ ταῖς ἄλλαις ἐπιστήμαις ὅσον πρὸς τὸ ἐπίστασθαι, ἡ δὲ γραμματική, ὅσον πρὸς τὴν διδασκαλίαν.*

*(β) Σημείωσαι, ὅτι ἡ γραμματικὴ διδάσκει ἡμᾶς τὸ ὄργανον τοῦ διδάσκειν· ὃ δὴ διδάσκειν ἀναγκαιότατον ἐστὶ πρὸς τὴν κτῆσιν τῆς ἐπιστήμης. Καὶ ἐπειδὴ τὸ ὄργανον τῆς διδασκαλίας ἐστὶν ὁ εὐσύνετος λόγος, ὡς ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητοῦ λέγεται, διὰ τοῦτο ἡ γραμματικὴ περὶ τούτου τοῦ λόγου οὖσα τοῦ σημαντικοῦ, γέγονεν ἡμῖν ἀναγκαία.*

---

3-4 titre omis BC     29-30 note (α) om B     31-35 note (β) om B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# Leçon II.

## Division de la logique.

### ΔΕΥΤΕΡΑ ΑΝΑΓΝΩΣΙΣ.

### Ἡ διαίρεσις τῆς λογικῆς.

Πάσας οὖν τὰς ἄλλας ἀφέντες, περὶ τῆς λογικῆς νῦν μόνον σκοπῶμεν· καὶ διὰ τοῦτο δεῖ διαιρεῖν αὐτὴν κατὰ τὴν διάκρισιν τοῦ ἀρχοειδοῦς ὑποκειμένου αὐτῆς. Τὸ δὲ ὑποκείμενον ἐν τῇ λογικῇ ἐστιν ὁ ἐπιστημονικὸς τρόπος, καθὸ ἐστὶν ὄργανον ᾧ τις ἐπίσταται ὅπερ ἐπίσταται, ὥσπερ ἐστὶν ὁ ὁρισμός, ἢ ἡ διαίρεσις, ἢ ἡ ἀπόδειξις. Καὶ λέγω καθὸ ἐστιν ὄργανον, διότι ὁ ἐπιστημονικὸς τρόπος κατὰ ἄλλον τρόπον ἐστὶν ἕξις ποριζομένη ἐκ τούτων τῶν ὀργάνων, ὁποία ἐστὶν ἡ λογική, καθ' ἣν σημασίαν φησὶν ὁ Φιλόσοφος ἐν τῷ β' τῶν Μετὰ τὰ φυσικά, ὅτι οὐκ ἔστιν ἅμα ζητεῖν τὴν ἐπιστήμην καὶ τὸν τοῦ ἐπίστασθαι τρόπον. Καὶ ἐπειδὴ πᾶς τρόπος τοῦ ἐπίστασθαι τάττεται πρὸς τὸν συλλογισμόν, διὰ τοῦτο λέγεται, ὅτι ὁ συλλογισμός ἐστιν ὑποκείμενον ἐν τῇ λογικῇ, ὥσπερ ἀρχοειδὴς τρόπος τοῦ ἐπίστασθαι, πρὸς ὃν οἱ ἄλλοι πάντες ἐπιστημονικοὶ τρόποι τάττονται. Διὰ τοῦτο κατὰ τὴν διαίρεσιν τοῦ ἐπιστημονικοῦ τρόπου, ὅστις ἐστὶν ὑποκείμενον ἐν ὅλῃ τῇ λογικῇ, ὁποῖος ἐστὶν ὁ συλλογισμός, ὅλη ἡ λογικὴ διαιρεῖται.

Ὁ δὲ συλλογισμὸς δύναται θεωρεῖσθαι διχῶς· ἢ ἐν ἑαυτῷ καὶ ἀπολελυμένως, καὶ οὕτως ἡ περὶ αὐτοῦ ἐπιστήμη ἐστὶ τοῦ βιβλίου τῶν Προτέρων ἀναλυτικῶν, ἢ καθὸ ἔχει τὸ εἶναι ἐν τοῖς ἰδίοις μέρεσι, f. 9 τοῦ ὑποκειμένου δηλονότι καὶ τοῦ ὅλου· καὶ τοῦτο ἐστὶ διχῶς, | διότι τὰ μέρη τοῦ συλλογισμοῦ ἃ νοοῦνται κατὰ τὸ ὑποκείμενον τοῦ συλλογισμοῦ εἰσὶν ἐν τῷ πρὸς τὴν εἰδικὴν καὶ ὡρισμένην ὕλην συνελκυσμῷ. Αὕτη δὲ ἡ εἰδικὴ ὕλη διπλῆ ἐστιν, ἢ ἀναγκαία, ἢ ἔνδοξος· καὶ διὰ τοῦτο εἰσὶ δύο μέρη τοῦ ὑποκειμένου. Ἂν μὲν γὰρ ὁ συλλογισμὸς συνέλκηται πρὸς τὴν ἀναγκαίαν ὕλην, οὗτος ἐστὶν ὁ συλλογισμὸς περὶ οὗ πραγματεύεται ὡς περὶ ὑποκειμένου, λαμβανόντων ἡμῶν τὸ ὑποκείμενον ἀντὶ τοῦ ἀντικειμένου, ἐν τῷ βιβλίῳ τῶν Ὑστέρων· ἂν δὲ συνέλκηται πρὸς τὴν ἔνδοξον ὕλην, οὗτος ἐστὶν ὁ διαλεκτικὸς συλλογισμὸς περὶ οὗ διορίζεται ἐν τῷ βιβλίῳ τῶν Τοπικῶν. Περὶ δὲ τοῦ σοφιστικοῦ συλλογισμοῦ διορίζεται ἐν τῷ βιβλίῳ τῶν Ἐλέγχων, οὐ καθὸ ἐστι συλλογισμὸς ἢ μέρος συλλογισμοῦ, ἀλλὰ διότι ἔχει ὁμοιότητά τινα ἢ φαντασίαν τοῦ συλλογισμοῦ, ὃν τρόπον περὶ τοῦ νεκροῦ ἀνθρώπου διορίζεσθαι δυνάμεθα, οὐ διότι ἐστὶν

---

3 *Ἀνάγνωσις δευτέρα* C, om B  4 *Περὶ τῆς λογικῆς* B, om C  17 *τούτου* avant *τοῦ* add BC, biffé dans A  20 *Περὶ συλλογισμοῦ* en marge B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἄνθρωπος, ἀλλὰ διότι ἔχει φαντασίαν καὶ ὁμοιότητα ζῶντος ἀνθρώπου. Ἂν δὲ θεωρῆται ὁ συλλογισμὸς ὡς ἔχει τὸ εἶναι ἐν τοῖς ὁλικοῖς μέρεσιν, τοῦτό ἐστι διχῶς· ἢ γὰρ ἔχει τὸ εἶναι ἐν τοῖς προσεχέσι μέρεσιν, ἢ ἐν τοῖς πόρρω. Εἰ ἐν τοῖς πόρρω μέρεσιν, οὕτως ἐστὶ τὸ βιβλίον τῶν Κατηγοριῶν· εἰ ἐν τοῖς προσεχέσιν, ἐστὶ τὸ βιβλίον τοῦ Περὶ ἑρμηνείας, ἐν ᾧ διορίζεται περὶ ἀποφάνσεως καὶ προτάσεως καὶ τῶν ἄλλων, ἅπερ εἰσὶ μέρη προσεχῆ τοῦ συλλογισμοῦ, διότι ἐκ δύο προτάσεων τεταγμένων ἐν τρόπῳ καὶ σχήματι γίνεται ὁ συλλογισμός. Τὰ δὲ λοιπὰ βιβλία εἰσὶν ὑπουργικὰ τῶν προειρημένων βιβλίων, οἷον τὸ τοῦ Πορφυρίου καὶ τῶν ἓξ ἀρχῶν· ταῦτα γὰρ τάττονται εἰς τὸ βιβλίον τῶν Κατηγοριῶν, εἰ καὶ διαφόρως, διότι ἐν τῷ βιβλίῳ τῶν Κατηγοριῶν διαλαμβάνεται περὶ τῶν ἀσυμπλέκτων ὅρων, καὶ οὕτω γίνεται μνήμη περὶ γενικωτάτου καὶ εἰδικωτάτου, περὶ γένους καὶ εἴδους, καὶ περὶ τῶν ἄλλων ὁμοίως· καὶ διὰ τοῦτο πρὸς τὴν τελεωτέραν διδασκαλίαν ἢ γνῶσιν τοῦ βιβλίου τῶν Κατηγοριῶν ἐποιήσατο ὁ Πορφύριος τὸ περὶ τῶν πέντε κατηγορικῶν βιβλίον· τὸ δὲ βιβλίον τῶν ἓξ ἀρχῶν τάττεται | πρὸς τὸ βιβλίον τῶν Κατη- f. 9ᵛ γοριῶν, διὰ τὸ τὸν Φιλόσοφον ἐν ταῖς Κατηγορίαις στενῶς καὶ διὰ βραχέων διορίσασθαι περὶ τῶν ἐσχάτων κατηγοριῶν· καὶ διὰ τοῦτο Γιλμπέρτος Πορρετάνος, ὡς ὁ Ἀλβέρτος φησί, συνέθηκε τὸ βιβλίον τῶν ἓξ ἀρχῶν, ἐν ᾧ περὶ τῶν ἓξ κατηγοριῶν ἐκείνων διαλαμβάνει πρὸς πληρεστέραν διδασκαλίαν τοῦ βιβλίου τῶν Κατηγοριῶν· ἐν ᾧ δὴ βιβλίῳ τὸ ἔξωθεν ἐπεισιὸν εἶδος ἐστὶν ὑποκείμενον.

Ἐπεὶ δὲ ὁ Ἀριστοτέλης ἐν τοῖς Τοπικοῖς περὶ τόπου εἴτουν περὶ συλλογισμοῦ διαλεκτικοῦ διορίζεται ὅσον πρὸς τὴν χρῆσιν αὐτοῦ καὶ τὴν μεταχείρισιν, καὶ οὐ κατὰ τὴν οὐσίαν (οὐ γὰρ διορίζεται τί ἐστιν ὁ τόπος ὁριστικῶς, οὐδὲ πόσοι εἰσίν, ἀλλά φησι πῶς ἐκ τῶν τόπων τῶν διακεκριμένων δύναιτ' ἂν σῴζεσθαι καὶ ἀποδείκνυσθαι τὸ ἐπιχείρημα), διὰ τοῦτο ὁ Βοήτιος περὶ τοῦ τόπου διορίζεται κατὰ τὴν οὐσίαν αὐτοῦ, δεικνὺς τί ἐστιν ὁ τόπος, καὶ οὐ μεταχειριζόμενος αὐτὸν πρὸς τὸ διορίσασθαί τι πρόβλημα· καὶ τοῦτο πεποίηκε πρὸς ἐντελεστέραν διδασκαλίαν τοῦ βιβλίου τῶν Τοπικῶν τοῦ Ἀριστοτέλους, καὶ ἔστιν ἀληθὴς καὶ ἀρίστη διάκρισις, ἐν ᾗ λέγεται, ὅτι ὁ μὲν Ἀριστοτέλης διορίζεται περὶ τῶν τόπων ὅσον πρὸς τὴν χρῆσιν καὶ τὴν μεταχείρισιν, ὁ δὲ Βοήτιος, ὅσον πρὸς τὴν οὐσίαν καὶ τὴν ὕπαρξιν αὐτῶν.

Ἔτι ὁ Φιλόσοφος ἐν β' τῶν Ὑστέρων διδάσκει ζητεῖν τὸ τί ἐστιν ἤγουν τὸν ὁρισμόν, ὅς ἐστιν μέσον ἐν τῇ ἀποδείξει τῇ ὁδῷ τοῦ συλλογισμοῦ καὶ τῆς διαιρέσεως. Καὶ ἐπειδὴ οὐδεμίαν ἐπιστήμην παρέδωκεν

---

4 *μέρεσιν* om BC 13 *περὶ* avant *τῶν* om BC 19 *ὁ Ἀλβέρτος*: S. Albert le Grand

ΙΩΑΝΝΙΝΑ 2006

ἡμῖν περὶ διαιρέσεως, ὁ Βοήτιος τὸ τῶν Διαιρέσεων βιβλίον συνέθηκεν πρὸς ἐντελεστέραν εἴδησιν τοῦ δευτέρου τῶν Ὑστέρων ἀναλυτικῶν. Καὶ οὕτω ταῦτα τὰ τέσσαρα βιβλία, δηλονότι τὸ βιβλίον τοῦ Πορφυρίου, τῶν ἓξ ἀρχῶν, τῶν Τοπικῶν τοῦ Βοητίου, καὶ τὸ τῶν Διαιρέσεων τοῦ αὐτοῦ, εἰσὶ περὶ τοῦ εὖ εἶναι τῆς λογικῆς, διότι τὴν τελεωτέραν ἡμῖν διδασκαλίαν παρέχονται τῶν δευτέρων ἐπινοιῶν, αἳ εἰσὶν ὄντα τοῦ λόγου, περὶ ὧν ἐστιν ἡ λογική, διότι, ὥς φησιν Ἀβινσένας, ἡ λογικὴ ἐστὶ περὶ τῶν δευτέρων ἐπινοιῶν τῶν ἐπικειμένων ταῖς πρώταις.

f. 10 | Περὶ ἐπινοιῶν πρώτων καὶ δευτέρων.

Οὗ πρὸς φανέρωσιν εἰδέναι δεῖ, ὅτι αἱ δεύτεραι ἐπίνοιαι εἰσὶ γνώσεις τινὲς εἴτουν λόγοι αὐτοῦ τοῦ πράγματος λαμβανόμενοι ἔκ τινων τρόπων τῆς ὑπάρξεως αὐτοῦ κοινοτέρων, καὶ προϋποτιθέασι τὴν πρώτην γνῶσιν τοῦ πράγματος, ὥσπερ ἡ σχετικὴ γνῶσις προϋποτίθησι τὴν ἀπολελυμένην.

Πρώτη δὲ ἐπίνοια καλεῖται ἡ πρώτη τοῦ πράγματος γνῶσις εἴτουν ὁ πρῶτος λόγος ἢ τρόπος τοῦ νοεῖν τὸ πρᾶγμα, εἰλημμένος ἀπὸ τοῦ ἰδίου τρόπου τῆς ὑπάρξεως· λόγου χάριν, ὥσπερ δύναμαι νοεῖν τὸν ἄνθρωπον, πρῶτον καθὸ ἐστι λογιζόμενος ἢ νοῶν, καὶ αὕτη ἡ γνῶσις καλεῖται πρώτη ἐπίνοια εἴτουν πρῶτος λόγος τοῦ νοεῖν τὸν ἄνθρωπον, εἰλημμενος ἀπὸ τοῦ ἰδίου τρόπου τῆς ὑπάρξεως τοῦ ἀνθρώπου, ὅς ἐστι τὸ λογίζεσθαι· καὶ τὸ πρᾶγμα τὸ οὕτως ἐγνωσμένον καλεῖται πρώτη ἐπίνοια ἐν τῷ συγκεκριμένῳ· περαιτέρω δέ, ἐπειδὰν γνῶμεν οὕτω πρῶτον τὸν ἄνθρωπον, καθό ἐστι λογιστικὸς ἢ νοῶν, δυνάμεθα μετὰ ταῦτα νοεῖν αὐτόν, καθὸ δύναται ἐν πλείοσιν εὑρίσκεσθαι διαφέρουσιν ἀριθμῷ, κατηγορεῖσθαι δυνάμενος κατ' αὐτῶν· καὶ οὕτω γινωσκόμενος ὁ ἄνθρωπος καλεῖται δευτέρα ἐπίνοια ἐξ ἀφαιρέσεως, ὥσπερ ἐστὶν ἡ εἰδότης, ἢ καθολικότης, αἵτινες εἰσὶ λόγοι τοῦ νοεῖν τὸ πρᾶγμα ἀπολελυμένως, ὡς ἔστιν ἐν πλείοσι διαφέρουσιν ἀριθμῷ, ἢ εἴδει· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Καὶ οὕτως αἱ τοιαῦται ἐπίνοιαι λαμβάνονται ἀπὸ τῶν κοινοτέρων τρόπων τῆς τοῦ πράγματος ὑπάρξεως ὥσπερ ἀπὸ τοῦ τρόπου τοῦ εἶναι ἐν πλείοσι διαφέρουσιν ἀριθμῷ ὅσον πρὸς τὸ εἶδος, ἢ διαφέρουσιν εἴδει ὅσον πρὸς τὸ γένος· ὡσαύτως δὲ καὶ περὶ τῶν ἄλλων. Καὶ τὸ πρᾶγμα τὸ οὕτω νοούμενον ἐστὶ δευτέρα ἐπίνοια συγκεκριμένως· καὶ οὕτω δῆλον, ὅτι οἱ τρόποι οὗτοι τῆς ὑπάρξεως γνώσεις εἰσὶν ἤγουν ἐπίνοιαι διαφέρουσαι ἀλλήλων, ὡς εἴρηται.

Τούτων θεωρηθέντων, ἴδωμεν τὴν λογικὴν κατὰ τὴν διαίρεσιν τῶν δευτέρων ἐπινοιῶν τῶν ἐν τῷ συγκεκριμένῳ, περὶ ὧν ἐστιν ἡ λογική. Αἱ δὲ δεύτεραι ἐπίνοιαι διαιρεῖσθαι ὀφείλουσι κατὰ τὰς ἐνεργείας τοῦ

2 δευτέρου: *βιβλίον* B 3 τοῦ δευτέρου avant *καὶ* add B 9 titre om BC 14 *Περὶ πρώτης ἐπινοίας* add en marge B 21 *Περὶ δευτέρας ἐπινοίας* add en marge B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

νοῦ, ἐπειδή εἰσιν ὄντα ἠρτημένα τοῦ νοῦ. | Ὁ δὲ νοῦς ἔχει τριπλῆν f. 10v ἐνέργειαν εἴτουν γνῶσιν· μία ἐστὶν ἡ τῶν ἁπλῶν ἀντίληψις· δευτέρα ἐστὶν ἡ τῶν ἀντιληφθέντων ἁπλῶν σύνθεσις ἢ διαίρεσις· τρίτη ἐστὶν ἡ ἐπιφορὰ ἢ ἡ διέξοδος ἀφ' ἑνὸς εἰς ἄλλο ὥσπερ ἀπὸ αἰτίας εἰς ἀποτέλεσμα, ἢ ἀπὸ προηγουμένου εἰς ἑπόμενον. Αἱ δὴ δεύτεραι ἐπίνοιαι, περὶ ὧν ἐστιν ἡ λογική, ἀποδίδονται τῷ νοητῷ πράγματι κατὰ τὰς ἐνεργείας τοῦ νοῦ. Ἢ τοίνυν ἀποδίδονται τῷ πράγματι ἁπλῶς καταληφθέντι καὶ γνωσθέντι διὰ τῆς πρώτης ἐνεργείας τοῦ νοῦ ὡς ἀντικειμένῳ, ἢ τῷ πράγματι γνωσθέντι παρὰ τοῦ νοῦ διὰ τῆς δευτέρας ἐνεργείας, ἥτις ἐστὶ τὸ τὰ ἁπλῶς καταληφθέντα συντιθέναι καὶ διαιρεῖν, ἢ τῷ πράγματι γνωσθέντι κατὰ τὴν τρίτην τοῦ νοῦ ἐνέργειαν, ἥτις ἐστὶ τὸ διεξιέναι, καὶ τὰ λοιπά.

Εἰ μὲν οὖν αἱ δεύτεραι ἐπίνοιαι ἀποδιδοῖντο τῷ πράγματι τῷ γνωσθέντι διὰ τῆς πρώτης ἐνεργείας τοῦ νοῦ, ἔστι τὸ βιβλίον τῶν Κατηγοριῶν, ὅπερ ἐστὶ περὶ τῶν ἁπλῶν ὅρων ἁπλῶς καταληφθέντων· ἔστι γὰρ περὶ τοῦ κατηγορικοῦ ἀσυμπλέκτου. Περὶ τῶν αὐτῶν δέ ἐστι καὶ τὸ βιβλίον τοῦ Πορφυρίου καὶ τὸ βιβλίον τῶν ἓξ ἀρχῶν, ἅπερ ὑπηρετοῦνται τῷ βιβλίῳ τῶν Κατηγοριῶν, διαφόρως μέντοι γε, ὡς εἴρηται πρότερον.

Εἰ δὲ αἱ δεύτεραι ἐπίνοιαι ἀποδιδοῖντο τῷ πράγματι τῷ γνωσθέντι διὰ τῆς δευτέρας ἐνεργείας τοῦ νοῦ, περὶ τούτων διαλαμβάνεται ἐν τῷ Περὶ ἑρμηνείας βιβλίῳ, ἐν ᾧ διορίζεται περί τε ἀποφάνσεως καὶ προτάσεως καὶ ἀντιθέσεως καὶ περὶ τῶν ἄλλων ὁμοίως, ἅπερ εἰσὶν ἐπίνοιαι δεύτεραι ἀποδιδόμεναι τοῖς πράγμασι, καθὸ εἰσιν ἐνηργημένα διὰ τῆς δευτέρας ἐνεργείας τοῦ νοῦ· ἡ πρότασις γάρ ἐστιν ἐνέργεια τοῦ νοῦ ἢ ἐπίνοια ἀποδιδομένη τινὶ ἀντικειμένῳ συμπεπλεγμένῳ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Ἂν δὲ αἱ δεύτεραι ἐπίνοιαι ἀποδοθεῖεν πράγματι ἐγνωσμένῳ διὰ τῆς τρίτης ἐνεργείας τοῦ νοῦ, ἥτις ἐστὶ διέξοδος τοῦ νοῦ ἀφ' ἑνὸς συμπεπλεγμένου εἰς ἄλλο, οὕτω περὶ τούτων διορίζεται ἐν τοῖς λοιποῖς τῆς λογικῆς μέρεσιν, ἐν οἷς περὶ τοῦ συλλογισμοῦ διαλαμβάνεται, ὅς ἐστι δευτέρα ἐπίνοια | ἀποδιδομένη τοῖς πράγμασι κατὰ τὴν τοῦ νοῦ τρίτην ἐνέργειαν· f. 11 ἐν γὰρ τῷ συλλογισμῷ γίνεται διέξοδος ἀφ' ἑνὸς συνθέτου εἰς ἕτερον, ὥσπερ ἐκ τῶν προτάσεων εἰς τὸ συμπέρασμα· καὶ περὶ τούτου τοῦ συνθέτου διαλαμβάνεται ἐν τοῖς λοιποῖς τῆς λογικῆς μέρεσιν, ὡς εἴρηται, διαφόρως μέντοι, διότι περὶ τοῦ συλλογισμοῦ καθ' αὑτὸν διορίζεται ἐν τῷ βιβλίῳ τῶν Προτέρων· περὶ δὲ τοῦ συλλογισμοῦ καθὸ συνέλκεται πρὸς τὴν ἔνδοξον ὕλην, διορίζεται ἐν τῷ βιβλίῳ τῶν Τοπικῶν· περὶ δὲ τοῦ σοφιστικοῦ, ἐν τῷ τῶν Ἐλέγχων· περὶ δὲ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, εἴτουν τοῦ συνελκομένου πρὸς τὴν ἀναγκαίαν ὕλην, διορίζεται ἐν τῷ βιβλίῳ τῶν Ὑστέρων· αἱ δὲ Διαιρέσεις τοῦ Βοηθίου εἰσὶ διὰ τὸ



Ε.Υ.Δ. τ.Φ.Κ. τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δεύτερον τῶν Ὑστέρων, καὶ τὰ Τοπικὰ τοῦ αὐτοῦ διὰ τὸ βιβλίον τῶν Ἀριστοτέλους Τοπικῶν.

Ἀλλ' ἵνα μή τις νομίσῃ, ὅτι ὁ συλλογισμός, ὅς ἐστιν ὑποκείμενον ἐν τῷ βιβλίῳ τῶν Προτέρων, ἐστὶν ὑποκείμενον ἐν ὅλῃ τῇ λογικῇ, εἰδέναι δεῖ, ὅτι ὁ συλλογισμὸς διχῶς δύναται θεωρεῖσθαι· ἢ ὅσον πρὸς πάντα τρόπον τῆς ἰδίας ὑπάρξεως ὃν ἔχει ἐν ἑαυτῷ καὶ ἀπολελυμένως καὶ ἐν τοῖς αὐτοῦ μέρεσι, τοῖς τε τοῦ ὑποκειμένου καὶ τοῖς ὁλικοῖς, τοῖς προσεχέσι καὶ τοῖς πόρρω καὶ πᾶσι τοῖς ἄλλοις τοῖς ἔχουσιν ἀπόδοσιν ἢ ἀναφορὰν πρὸς τὸν συλλογισμόν, καὶ οὕτως ὁ συλλογισμός ἐστιν ὑποκείμενον ἐν ὅλῃ τῇ λογικῇ· ἢ δύναται θεωρεῖσθαι ὅσον πρὸς ἕνα τρόπον τῆς ὑπάρξεως μόνον, δηλονότι ὅσον πρὸς τοῦτον τὸν τρόπον τοῦ εἶναι, ὅς ἐστιν καθ' αὑτὸν καὶ ἀπολελυμένως μόνον, δηλονότι ὅσον πρὸς τὴν ὕλην καὶ τὸ εἶδος τὸ ὀφειλόμενον αὐτῷ κατά τε τρόπον καὶ σχῆμα, καὶ οὐχ ὡς ἐν ἐκείνῳ τῷ μέρει ἢ ἐν ἄλλῳ, καὶ οὕτως ὁ συλλογισμὸς μέρος ἐστὶ τοῦ συλλογισμοῦ τῷ πρώτῳ τρόπῳ θεωρουμένου, καὶ ἔστιν ὑποκείμενον οὕτως ἐν τῷ βιβλίῳ τῶν Προτέρων· καὶ οὕτω διαφόρως ἐστὶ τὸ ὑποκείμενον ἐν ὅλῃ τῇ λογικῇ καὶ ἐν τῷ βιβλίῳ τῶν Προτέρων.

Ὡσαύτως δὲ οὐδὲ παρέλκει τὸ βιβλίον τῶν Φωνῶν καὶ τὸ περὶ τῶν Κατηγοριῶν καὶ τῶν Ἓξ ἀρχῶν, ὡς ἂν δόξειε, διὰ τὸ ἐν τῷ βιβλίῳ f. 11ᵛ τῶν Προτέρων διορίζεσθαι περὶ τῶν ἀσυμπλέκτων ὅρων, | καθό εἰσι μέρη τοῦ συλλογισμοῦ, διότι τῷ μὲν βιβλίῳ τῶν Προτέρων ἀνήκει ἡ περὶ τῶν μερῶν τοῦ συλλογισμοῦ θεωρία, καθό εἰσι μέρη εἰσερχόμενα εἰς τὸν συλλογισμόν, τοῖς δὲ ἄλλοις βιβλίοις, κατ' ἄλλον τρόπον, δηλονότι τῷ μὲν βιβλίῳ τοῦ Πορφυρίου, ὅσον πρὸς τὸν τρόπον τοῦ λέγεσθαι κατὰ πλειόνων καὶ διαφερόντων εἴδει ἢ ἀριθμῷ, ταῖς δὲ Κατηγορίαις, ὅσον πρὸς τὸν λόγον τοῦ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι καὶ κατὰ ἄλλων λέγεσθαι· ὡσαύτως καὶ τῷ βιβλίῳ τῶν Ἓξ ἀρχῶν.

## Ἑτέρα διαίρεσις τῶν βιβλίων τῆς λογικῆς.

Ἰστέον δὲ ὅτι κατὰ τὸν Θωμᾶν νδὲ Ἀκούινο, ἐπεὶ ὁ ἄνθρωπος ἐν ταῖς ἰδίαις ἐνεργείαις ἀπευθύνεται τῷ τοῦ λόγου κανόνι, καὶ τοῦτό ἐστιν ἴδιον τοῦ ἀνθρώπου πρὸς τὰ λοιπὰ ζῷα, ἅπερ ἐρεθισμῷ τινι καὶ ὁρμῇ φυσικῇ πρὸς τὰς ἑαυτῶν ἐνεργείας ἄγονται, ὁ δὲ λόγος οὐ μόνον τὰς τῶν ταπεινοτέρων μερῶν τῆς ψυχῆς ἐνεργείας δύναται κατευθύνειν, ἀλλ' ἔτι καὶ τῶν ἰδίων ἐνεργειῶν ἐστιν ἀπευθυντικός, ἔδει πρὸς ταῖς λοιπαῖς τέχναις ταῖς ὑπὸ τοῦ λόγου εὑρημέναις, δι' ὧν ὁ ἄνθρωπος τεταγμένως ἐν πᾶσι πράγμασιν ἐνεργεῖ, καί τινα τέχνην εὑρεθῆναι ἀπευθυντικὴν αὐτῆς τῆς ἐνεργείας τοῦ λόγου· καὶ αὕτη ἐστὶν ἡ λογικὴ ἐπιστήμη, ἥτις οὐ μόνον διὰ τὸ κατὰ

28 Titre om BC  29 *Θωμᾶν δὲ Ἀκούινο* BC

Ε.Υ.Δ της Β.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λόγον εἶναι λογική ἐστιν, ὃ κοινόν ἐστιν ἁπάσαις ταῖς τέχναις, ἀλλὰ καὶ ὅτι περὶ τὴν ἐνέργειαν αὐτὴν τοῦ λόγου ὡς περὶ ὕλην ἰδίαν ἐστίν· καὶ διὰ τοῦτο δοκεῖ τέχνη τεχνῶν εἶναι, διότι ἐν τῇ ἐνεργείᾳ τοῦ λόγου ἡμᾶς κατευθύνει, ἀφ' ἧς αἱ τέχναι πᾶσαι προΐασιν. Ὅθεν τὰ μέρη τῆς λογικῆς κατὰ τὴν διαφορὰν τῶν ἐνεργειῶν τοῦ λόγου λαμβάνονται, αἵ εἰσι τρεῖς· δύο τοῦ λόγου καθ' αὐτόν, τουτέστι καθό ἐστι νοῦς, ἥ τε νόησις τῶν ἀδιαιρέτων ἢ ἀσυμπλέκτων, πρὸς ἣν τάττεται τὸ βιβλίον τῶν Κατηγοριῶν, καὶ ἡ σύνθεσις ἢ ἡ διαίρεσις, πρὸς ἣν τὸ Περὶ ἑρμηνείας· ἡ δὲ τρίτη ἐστὶ κατὰ τὸ ἴδιον τοῦ λόγου, τουτέστι κατὰ τὸ μεταβαίνειν, πρὸς ὃ τάττονται τὰ λοιπὰ βιβλία τῆς λογικῆς. Καὶ ἐπεὶ αἱ τοῦ λόγου ἐνέργειαι ἐοίκασιν ὅσον κατά τι ταῖς ἐνεργείαις τῆς φύσεως, ἐν δὲ ταῖς ἐνεργείαις τῆς φύσεως εὑρίσκεται τριπλῆ διαφορά· ἔν τισι μὲν γὰρ ἡ φύσις ἐξ ἀνάγκης ποιεῖ καὶ ἀδιαπτώτως, ἐν ἄλλοις δὲ ὡς ἐπὶ τὸ πλεῖστον | ἐνεργεῖ, εἰ καὶ f. 12 δύναιτό ποτε ἐλλείπειν τῆς ἰδίας ἐνεργείας καὶ διαπίπτειν, ὡς ἐντεῦθεν εἶναι διπλῆν ἐνέργειαν, μίαν μὲν τὴν ὡς ἐν πλείοσι γινομένην, ὥσπερ ὁπόταν ἐκ σπέρματος τέλειον γεννηθῇ ζῷον· ἑτέραν δὲ κατὰ διάπτωσίν τινα, ὥσπερ ἐκ σπέρματος γίνεταί τι τέρας διά τινος ἀρχῆς φθοράν· εἰκότως καὶ ἐν ταῖς ἐνεργείαις τοῦ λόγου ἡ τοιαύτη εὑρίσκεται διαφορά. Ἔστι γάρ τις τοῦ λόγου πρόοδος ἀνάγκη ἐπάγουσα καὶ ἀδιάπτωτος, ἥτις τὴν ἐπιστήμην ποιεῖ· ἔστιν ἑτέρα, ἐν ᾗ ὡς ἐν πλείοσι τὸ ἀληθὲς συμπεραίνεται, ἄνευ ὅμως ἀνάγκης· τρίτη ἐστίν, ἐν ᾗ ὁ λόγος ἐλλείπει τοῦ ἀληθοῦς δι' ἔλλειψιν ἀρχῆς τινος ἐν τῇ διεξόδῳ τοῦ λόγου φυλάττεσθαι προσηκούσης. Τὸ μὲν δὴ μέρος τῆς λογικῆς τὸ τῇ πρώτῃ δουλεῦον προόδῳ κριτικὸν λέγεται καὶ ἀναλυτικόν, ὡς δι' ἀναλύσεως ἐχόμενον καὶ κρίσιν βεβαίαν ποιοῦν· καὶ τοῦτο διαιρεῖται εἰς τὰ Πρότερα ἀναλυτικά, ὅσον κατὰ τὸ εἶδος μόνον τοῦ συλλογισμοῦ, καὶ εἰς τὰ Ὕστερα, ὅσον πρὸς τὴν ὕλην σὺν τῷ εἴδει· ἔστι γὰρ ἐκεῖ περὶ ἀναγκαίων προτάσεων ὁ λόγος. Τῇ δὲ δευτέρᾳ προόδῳ τοῦ λόγου δουλεύει τὸ εὑρετικὸν λεγόμενον· τοῦτο δὲ διαιρεῖται εἰς τρία· εἰς τὴν διαλεκτικήν, πρὸς ἣν τέτακται τὰ Τοπικά, καὶ τὴν ῥητορικὴν καὶ τὴν ποιητικήν· ὥσπερ γὰρ ἐν τῇ φύσει τῶν ὡς ἐπὶ τὸ πλεῖστον ποιούντων βαθμός τις εὑρίσκεται, διότι ὅσῳ τῆς φύσεως ἡ δύναμίς ἐστιν ἰσχυροτέρα, τοσούτῳ σπανιώτερον διαπίπτει, οὕτω καὶ ἐν ταύτῃ τῇ δευτέρᾳ τοῦ λόγου προόδῳ βαθμός τις εὑρίσκεται, καθὸ μᾶλλόν τε καὶ ἧττον πρὸς τὴν βεβαιότητα τείνει. Διὰ τοῦτο ὅταν μὲν γένηται πίστις ἢ ὑπόληψις τῶν προτάσεων, εἰ καὶ μὴ ἐπιστήμη, τοῦ λόγου πρὸς θάτερον μέρος ἀποκλίνοντος καθόλου εἰ καὶ μετά τινος ἐνδοιασμοῦ πρὸς τὸ λοιπόν, ἔστιν ὁ διαλεκτικὸς συλλογισμός· ὅταν δὲ οὐ γένηται πίστις ἢ δόξα, ἀλλά τις ὑποψία τοῦ λόγου, οὐ πρὸς θάτερον τῆς ἀντιφάσεως καθόλου ἀποκλίναντος, εἰ καὶ μᾶλλον πρὸς τοῦτο ἢ ἐκεῖνο ῥέποι, ἔστιν ἡ ῥητορική· ὅταν δὲ γένηται ὑπόληψις τοῦ ἑτέρου μόνου μέρους τῆς ἀντι-



ΙΩΑΝΝΙΝΑ 2006

φάσεως διά τινος ἐμφάσεως, ἔστιν ἡ ποιητική, ἐνάγουσα εἴς τι σπουδαῖον f. 12ᵛ διά τινος οἰκείας ὁμοιότητος. | Πάντα δὲ ταῦτα πρὸς τὴν λογικὴν φιλοσοφίαν ἀνήκουσιν· τὸ γὰρ ἐνάγειν ἀπ' ἄλλου εἰς ἄλλο, τοῦ λόγου ἐστίν. Τῇ δὲ τρίτῃ τοῦ λόγου προόδῳ ἡ σοφιστικὴ δουλεύει, ἥτις ἐστὶ τὸ περὶ τῶν ἐλέγχων μέρος τῆς λογικῆς.

# Leçon III.

## Questions diverses.

### *ΤΡΙΤΗ ΑΝΑΓΝΩΣΙΣ.*

*Ζητήματα.*

### Πότερον ἡ λογική ἐστιν ἐπιστήμη;

Ζητεῖται εἴπερ ἐστὶν ἐπιστήμη ἡ λογική. Καὶ δοκεῖ μή, διότι ὁ τρόπος τοῦ ἐπίστασθαι οὐκ ἔστιν ἐπιστήμη· ἡ δὲ λογικὴ τρόπος ἐπιστημονικός ἐστιν· ἄρα καὶ τὰ λοιπά. Ἡ μείζων δείκνυται, ὅτι ὁ τρόπος τοῦ πράγματος οὐκ ἔστι τὸ πρᾶγμα. Ἡ ἐλάττων δείκνυται διὰ τοῦ Φιλοσόφου ἐν δευτέρῳ τῶν Μετὰ τὰ φυσικὰ λέγοντος ὅτι ἡ λογική ἐστι τρόπος τοῦ ἐπίστασθαι· ὅθεν φησὶν ἐκεῖ, ὅτι μάταιόν ἐστι ζητεῖν τὴν ἐπιστήμην ἅμα καὶ τὸν ἐπιστημονικὸν τρόπον. Καὶ φησὶν Ἀβερόης ἐκεῖ ἐπιστημονικὸν λέγεσθαι τρόπον τὴν λογικήν.

Ἔτι, πᾶσα ἐπιστήμη ἐστὶν ἐξ οἰκείων· ἡ δὲ λογικὴ οὐκ ἔστιν ἐξ οἰκείων. Ἡ μείζων δείκνυται ἐν τῷ πρώτῳ τῶν Ὑστέρων· ἡ ἐλάττων δείκνυται ἐκ τοῦ τὴν λογικὴν εἶναι ἐκ τῶν κοινῶν, ὡς ἐν τῇ ἀρχῇ τῶν Τοπικῶν φαίνεται, ὅπου λέγεται ὅτι πρὸς τὰς ἁπασῶν τῶν μεθόδων ἀρχὰς ὁδὸν ἔχει.

Ἔτι, τὸ τινὸς ἐπιστήμης ὑποκείμενον δεῖ νοητὸν εἶναι· τὸ δὲ τῆς λογικῆς ὑποκείμενον οὐκ ἔστι νοητόν· ἄρα καὶ τὰ λοιπά. Ἡ μείζω ἀφ' ἑαυτῆς φανερά. Ἡ ἐλάττων δείκνυται διχῶς. Πρῶτον, οὕτως· ὅπερ οὐκ εἶναι δύναται αἰσθητόν, οὐκ ἔστι νοητόν, διότι ὁ νοῦς ὁ ἡμέτερος ἤρτηται ἐκ τῶν αἰσθημάτων· ὁ δὲ συλλογισμός, ὅς ἐστιν ὑποκείμενον τῆς λογικῆς, οὐκ ἔστιν αἰσθητός· οὐ γάρ τις ὁρᾷ τὸν συλλογισμὸν οὔτε ἄλλῃ αἰσθήσει αἰσθάνεται· ἄρα καὶ τὰ λοιπά. Δεύτερον, οὕτως· τὸ τινὸς δυνάμεως ἀντικείμενον δεῖ αὐτῆς προηγεῖσθαι τῆς δυνάμεως· τὰ δὲ ὄντα τῆς λογικῆς οὐ προηγεῖται τοῦ νοῦ, μᾶλλον δὲ ἕπονται· ἄρα καὶ τὰ λοιπά. Ἡ μείζων φανερά. Ἡ ἐλάττων δείκνυται οὕτως· τὰ λογικῶς ὄντα κτίζονται ἐκ τῆς ἐνεργείας τοῦ νοῦ· διὰ τοῦτο οὐ προηγοῦνται τοῦ νοῦ· περὶ οὗ ἄρα ἐστὶν ἡ λογικὴ οὐκ ἔστι τοῦ νοῦ ἀντικείμενον, καὶ εἰ μὴ ἔστιν ἀντικείμενον τοῦ νοῦ, οὐδὲ νοητόν ἐστιν· ἄρα καὶ τὰ λοιπά.

---

8 om B  9 *Ζητήματα* om BC

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006